λέσαμεν τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ τειχήρεις
ἐγενόμεθα, τίνα γνώμην ἔθεντο περὶ ἡμῶν οἱ νῦν
μὲν ἡμέτεροι τότε δὲ Λακεδαιμονίων ὄντες σύμμα-
χοι; οὐ τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ τὴν
χώραν ἐρημοῦν; οἱ δὲ διακωλύσαντες ταῦτα μὴ
γενέσθαι τίνες ἦσαν; οὐ Λακεδαιμόνιοι, τοὺς μὲν
συμμάχους ἀποτρέψαντες τῆς γνώμης, αὐτοὶ δ᾽ οὐδ᾽
ἐπιχειρήσαντες διαβουλεύσασθαι περὶ τοιούτων ἔρ-
22 γων; μετὰ δὲ τοῦτο ὅρκους ὀμόσαντες αὐτοῖς καὶ
τὴν στήλην εὑρόμενοι ⟨παρ᾽⟩ αὐτῶν στῆσαι, κακὸν
ἀγαπητὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, σπονδὰς ἤγομεν
ἐπὶ ῥητοῖς. εἶτα δὲ συμμαχίαν ποιησάμενοι Βοιω-
τοὺς καὶ Κορινθίους ἀποστήσαντες αὐτῶν, Ἀργείους
δὲ ἀγαγόντες εἰς τὴν ποτὲ φιλίαν, αἴτιοι τῆς ἐν
Κορίνθῳ μάχης ἐγενόμεθα αὐτοῖς. τίνες δὲ βασι-
λέα πολέμιον αὐτοῖς ἐποίησαν, καὶ Κόνωνι τὴν
ναυμαχίαν παρεσκεύασαν, δι᾽ ἣν ἀπώλεσαν τὴν
23 ἀρχὴν τῆς θαλάττης; ὅμως τοίνυν ταῦτα πεπον-
θότες ὑφ᾽ ἡμῶν συγχωροῦσι ταὐτὰ ἅπερ οἱ σύμμα-
χοι, καὶ διδόασιν ἡμῖν τὰ τείχη καὶ τὰς ναῦς καὶ
τὰς νήσους ἡμῶν εἶναι. ποίαν τιν᾽ οὖν χρὴ εἰρή-
νην πρεσβεύοντας ἥκειν; οὐ ταὐτὰ παρὰ τῶν πολε-
μίων εὑρομένους, ἅπερ οἱ φίλοι διδόασι, καὶ δι᾽
ἅπερ ἠρξάμεθα πολεμεῖν, ἵνα ἡμῶν γένηται τῇ
πόλει, ταῦτα; οἱ μὲν τοίνυν ἄλλοι τὴν εἰρήνην

γεγέσθαι A.

22. παρ᾽ add. Ald. — Βοιωτοῖς coll. § 25 Bl. — ἀγα-γόντες om. Q (in fine versus). — ποτὲ] πρότερον Osann (Bl. ed. I.). — ἑαυτοῖς πολέμιον Q pr. — ναυαρχίαν Emp., ναυκρατίαν Linder (v. frg. 2).

23. ταὐτὰ ἅπερ et ταὐτὰ παρὰ cum Osann. Bait. L: ταῦτα. — πρεσβεύοντες pr. Q. — πόλει, ταῦτα mal. S.: πόλει ταῦτα. —

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403675685/106 UNIVERSITÄT LEIPZIG